## Κείμενο

ΙΣ. *Οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ*
*ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο,*
*πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς*
*ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί·*
*ἔπειτα μήτηρ καὶ γυνή, διπλοῦν ἔπος,*
*πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·*
*τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν*
*αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον*
*κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν χεροῖν.*
*Νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει*
*ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ*
*ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.*
*Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ' ὅτι*
*ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·*
*ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων*
*καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα.*
*Ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς*
*ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,*
*τοῖς ἐν τέλει βεβῶσι πείσομαι· τὸ γὰρ*
*περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.*



Χαρίκλεια Μυττά, φιλόλογος